+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΘΕΟΔΩΡΟΝ ΓΑΒΡΑΝ

(οὗ ἡ μνήμη τῇ β΄ Ὀκτωβρίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βη΄ * 2008 *

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΘΕΟΔΩΡΟΝ ΓΑΒΡΑΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.



www.tezaurliturgic.ro

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ Ὑψωθείς.*

Ὑπὲρ Χριστοῦ μαρτυρικῶς ἐναθλήσας,
τὴν πλάνην Ἄγαρ κατεπάτησας σθένει,
Θεόδωρε, καὶ γέγονας πολίτης οὐρανῶν·
ὅθεν τὰ αἰτήματα τῶν τιμώντων σε πλήρου,
νοσημάτων ἴασιν χορηγῶν φιλαδέλφως,
καὶ πειρασμῶν διώκων τὰς ὁρμάς,
ὅπως ἐνθέως,
τὸν βίον τελέσωμεν.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνϗ
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρουςϗ
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

**Εἶτα ὁ κανὼν, οὗ ἡ ἀκροστιχίς:**
*« Ἐπάκουσον, Θεόδωρε, ἡμῶν ψυχῶν δεήσεις. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Ἐν θλίψεσιν ὄντες καὶ συμφοραῖς,
Θεόδωρε μάρτυς,
σοὶ προσπίπτομεν ἐκτενῶς,
αἰτούμενοι λύσιν ταχυτάτην,
ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

Παθὼν δι᾽ἀγάπην τοῦ Ἰησοῦ,
βασάνους ποικίλας,
ὥσπερ ἄσειστος ἀνδριάς,
Θεόδωρε, δίδου ταῖς εὐχαῖς σου,
ὑπομονὴν καὶ ἡμῖν τοῖς τιμῶσί σε.

Ἀνάγκαι συνέχουσι τὰς ψυχάς,
καὶ νέφη σκοτοῦσι,
διανοίας ἡμῶν πικρά,
διὸ τῇ ἐμπνεύσει τῶν εὐχῶν σου,
ταῦτα διάλυσον, μάρτυς Θεόδωρε.

*Θεοτοκίον*

Καρδίαν ἐμόλυνα ἀπρεπῶς,
ὁ τάλας, Παρθένε,
καὶ τὸ ἔνδυμα τῆς ψυχῆς,
κατέχρανα πλείσταις ἁμαρτίαις,
διό αἰτοῦμαι καθάρσια δάκρυα.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐδαμῶς καθυπῆξας,
ταῖς ἀπειλαῖς, Ἅγιε,
ἀλλὰ διατόρως τὴν πλάνην,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

Ἄγαρ ἐξήλεγξας,
διό, Θεόδωρε,
ἀξίωσόν με τοῦ πλάνου,
ἀπειλὰς καὶ σκάνδαλα,
συντρίβειν πάντοτε.

Ὑπερβὰς ὅρους πάντας,
τοὺς φυσικούς, Ἅγιε,
τὰς τοῦ ἀντιπάλου βασάνους,
στεῤῥῶς ὑπέμεινας,
τοὺς πάλαι Μάρτυρας,
ἐκμιμηθείς, γενναιόφρον,
ὅθεν κἀμοὶ δώρησαι,
γενναῖον φρόνημα.

Σκυβαλίσας ἀνδρείως,
τὰ γεηρὰ ὥρμησας,
πρὸς τῆς Βασιλείας τὴν κτῆσιν,
μάκαρ Θεόδωρε,
ἧς καταξίωσον,
τοὺς σὲ ὑμνοῦντας ἐνθέως,
ταῖς πρὸς τὸν Φιλάνθρωπον,
θερμαῖς πρεσβείαις σου.

*Θεοτοκίον*

Ὃν ἐκύησας Λόγον,
ὑπερφυῶς, Ἄχραντε,
Τοῦτον ὁ Θεόδωρος ὄντως! Θεὸν ἐκήρυξε,
καὶ ὥσπερ σφάγιον,
ὑπὲρ Αὐτοῦ ἐμελίσθη,
καύχημα γενόμενος,
τῶν δοξαζόντων σε.

Διάσωσον,
τοὺς σὲ τιμῶντας, Θεόδωρε, ἐκ κινδύνων,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

διαλύων ἐχθροῦ πανουργεύματα,
καὶ πρόσθες πίστιν ἀκλινῆ,
πρὸς ζωὴν αἰωνίαν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τὴν πίστιν Χριστοῦ,
μεγάλως ἀνεκήρυξας,
καὶ πλάνην δεινήν,
τῆς Ἄγαρ κατεφαύλισας,
μετασχὼν μαρτυρίου φρικτοῦ, ὦ Θεόδωρε,
διὸ ἀεὶ τὸν Ἀγαθόν,
ὑπὲρ τῶν τιμώντων σε ἱκέτευε.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Νίκην θείαν ἐνίκησας,
τὸν τῆς ἀσεβείας ἐλέγξας τύραννον,
διὸ πάντοτε, Θεόδωρε,
δὸς κἀμοὶ νικᾶν καλῶς τὰ πάθη μου.

Θεοῦ δῶρον δεδώρησαι,
πάσῃ Ἐκκλησίᾳ, κλεινὲ Θεόδωρε,
ὡς μαρτύρων ἰσοστάσιος,
ὧν με μιμητὴν δεῖξον πρεσβείαις σου.

Ἐταπείνωσας τέλειον,
τὸν σὲ ταπεινῶσαι κενῶς νομίσαντα,
τῇ ἀνδρείᾳ σου, Θεόδωρε,
ἧς μου τὴν καρδίαν καταπλούτισον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

*Θεοτοκίον*

Οὐρανὸν δεῖξον ἔμψυχον,
τὸν σὲ ἀνυμνοῦντα πιστῶς, Πανάχραντε,
ἐν ᾧ θρόνον ὁ Παράκλητος,
στῆσαι καθ’ ἡμέραν ἁγιάζων με.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Δώματα Θεοῦ,
κατοικῶν, κλεινὲ Θεόδωρε,
μὴ ἐπιλάθῃ τῶν ἐν γῇ σου ἀδελφῶν,
ἐξαιτουμένων,
σὴν ὑπέρμαχον βοήθειαν.

Ὥσπερ ἀληθής,
τοῦ Κυρίου, Μάκαρ, ἄμπελος,
ὑπὸ ἀπίστων ἀπετμήθης μεληδόν,
οὕτως ἐννοίας,
πονηρὰς ἡμῶν κατάτεμνε.

Ῥῦσαι ἐκ παντός,
πειρασμοῦ ἡμᾶς, Θεόδωρε,
ὑπομονὴν καλὴν δωρούμενος,
καὶ διαβόλου,
τὰς κρυπτὰς παγίδας σύντριψον.

*Θεοτοκίον*

Ἔχοντες ἀεί,
προστασίαν σου, Ἀμόλυντε,
οὐ δειλιῶμεν ἐν τοῖς βίου μοχθηροῖς,
καὶ ἀνυμνοῦμεν,
ἐν χαρᾷ τὰ μεγαλεῖά σου.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

Ἠισχύνθησαν,
οἱ ἐχθροί, Θεόδωρε,
καὶ ἐθρήνησε σατὰν ὁ πανοῦργος,
ὅτε στεῤῥῶς,
τὰς βασάνους ὑπέστης,
διὰ Χριστὸν τῆς ψυχῆς τὸν Νυμφίον σου·
διὸ ἀξίωσον κἀμέ,
καταισχύνειν ἀεὶ τὸν πειράζοντα.

Μαρτύριον,
τῆς ψυχῆς ὠνόμασται,
τῶν πιστῶν ἐπὶ τῆς γῆς πολιτεία,
ὅθεν Χριστοῦ,
θεοδώρητε πῦκτα,
ὁ ὑπὲρ Τούτου κενώσας τὸ αἷμά σου,
ἐνίσχυσον πάντας ἡμᾶς,
τοὺς ποθοῦντας Χριστῷ πολιτεύεσθαι.

Ὡς βέλεμνα,
πικροφόρα ἔρχονται,
αἱ ἀδόκητοι τοῦ βίου συμβάσεις,
καὶ τῆς ψυχῆς,
καταπίπτει ὡς φύλλον,
μεγαλομάρτυς Θεόδωρε, δύναμις·
ὅθεν ἐν ὥραις ἀχθηραῖς,
παραστάτης γενοῦ ἡμῶν ἄσειστος.

*Θεοτοκίον*

Ναοὶ Θεοῦ,
γεγονότες, Δέσποινα,
οἱ πιστοὶ οἱ βαπτισθέντες Κυρίῳ,
ταῖς πολλαπλαῖς,
ἁμαρτίαις τὸν ῥύπον,
ἐν ἑαυτοῖς ἀνοήτως εἰσάγομεν·
διὸ ὡς Πάναγνος ταχύ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

σαῖς ἁγίαις εὐχαῖς ἀποκάθαρον

Διάσωσον,
τοὺς σὲ τιμῶντας, Θεόδωρε, ἐκ κινδύνων,
διαλύων ἐχθροῦ πανουργεύματα,
καὶ πρόσθες πίστιν ἀκλινῆ,
πρὸς ζωὴν αἰωνίαν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα,
μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ὡς Μαρτύρων τῶν πάλαι ἰσοστάσιον,
καὶ Χριστιανῶν ἀντιλήπτορα μέγιστον,
σὲ εἰδότες,
μεγαλομάρτυς τοῦ Κυρίου ἀθλητά,
ἰδοὺ σπεύδομεν πιστῶς,
καὶ ἐκζητοῦμεν τὰς θερμάς,
πρὸς Αὐτὸν ἱκεσίας σου.
Δίωξον ἀσθενείας,
στήριξον κλονουμένους,
καὶ πᾶσαν δόσιν ἀγαθήν,
σὲ τιμῶσι, δός, Θεόδωρε.

Προκείμενον. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. *Πεφυτευμένος ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν (κα΄ 12-19).*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.*

Ταῖς τοῦ Ἀθλοφόρου,
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου,
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Πλούτῳ θείου ἔρωτος,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

τὴν πλάνην Ἄγαρ καθεῖλες,
καὶ ὡς κλῆμα εὔκαρπον,
μεληδὸν κατέσφαγξαι, γενναιότατε.
Τοῖς πιστοῖς ἔδειξας,
τῷ σῷ μαρτυρίῳ,
ὅτι δεῖ ὑπὲρ τὰ ἅπαντα,
Χριστὸν τὸν Κύριον,
προτιμᾶν τὸν ὄντως ἀθάνατον,
καὶ θύειν ἐθελούσιον,
τὰ ὡς ἀγαθὰ νομιζόμενα.
Ὅθεν ἐπλουτίσθης,
πληθύϊ χαρισμάτων ἐκ Θεοῦ,
ἅπερ μετάδος, Θεόδωρε,
τοῖς πιστῶς αἰτοῦσί σε.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ψυχικῶς ἀτονοῦντες,
καὶ κλονούμενοι βίου ταῖς περιστάσεσι,
Θεόδωρε, τὴν σκέπην,
τῶν θείων πρεσβειῶν σου,
ἐκ βαθέων αἰτούμεθα,
ὅπως εἰς φρέαρ βαθὺ,
μὴ πέσωμεν κακίας.

Ὑπερήφανον ὄφιν,
τῷ σεπτῷ μαρτυρίῳ κατεταπείνωσας,
Θεόδωρε, διδάξας,
πῶς δεῖ ἐν ταπεινώσει,
πολιτεύεσθαι ἅπαντας,
τοὺς χριστωνύμους καλῶς,
Χριστὸν ἐκμιμουμένους.

Χλαῖναν ἔβαψας μάρτυς,
τῆς στρατείας τοῖς αἵμασι τῶν ἀγώνων σου,
καὶ νῦν ἐν Βασιλείᾳ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

Κυρίου ὢν μὴ παύσῃ,
μνημονεύειν, Θεόδωρε,
τοὺς μαρτυροῦντας ἀεί,
καλῶς τῇ συνειδήσει.

*Θεοτοκίον*

Ὡς Σωτῆρα τεκοῦσα,
σωτηρίας τὴν πύλην ἡμῖν ὑπάνοιξον,
εὐχαῖς σου, Θεοτόκε,
μετάνοιαν διδοῦσα,
ἀδεῶς ἁμαρτάνουσι,
καὶ μὴ τὸ πῦρ τὸ φρικτόν,
ἐκεῖνο δειλιῶσι.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Νοῦν καταστήσας,
ναὸν σεπτὸν τοῦ Κυρίου,
διὰ μνήμης Αὐτοῦ ἀδιαλείπτου,
ταύτην σὲ τιμῶσι,
Θεόδωρε, παράσχου.

Δρόμον τελέσας,
μαρτυρικῶς ἐν Κυρίῳ,
τοὺς σὴν μνήμην, Θεόδωρε, τιμῶντας,
ἐν ταῖς ἀσθενείαις,
ἐνίσχυε ὑψόθεν.

Εὐλογημένοι,
οἱ προβάλλοντες πρέσβυν,
σέ, Θεόδωρε, ἐν δεινοῖς τοῦ βίου,
ὅτι τούτων λύσιν,
λαμβάνομεν ταχέως.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

Ἡ ὑπερλόγως,
τὸν Δεσπότην τεκοῦσα,
Θεοτόκε, ἱκέτευε ἀπαύστως,
σὺν τῷ Θεοδώρῳ,
ὑπὲρ πιστῶν ἁπάντων.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Συνὼν τῷ Στεφοδότῃ,
ἐν τῷ Παραδείσῳ
ὑπὲρ ἡμῶν μὴ ἐλλείπῃς, Θεόδωρε,
καθικετεύειν ἀπαύστως,
τῶν γεραιρόντων σε.

Ἐν ὥραις τῆς ἀνάγκης,
πρόσδραμε συντρέχων,
τοῖς αἰτουμένοις σε, μάρτυς Θεόδωρε,
καὶ λύσιν δὸς προβλημάτων,
ψυχῆς καὶ σώματος.

Ἱλέωσαι εὐχαῖς σου,
τὸν Δικαιοκρίτην,
ὅπως ἐν ὥρᾳ τῆς δίκης, Θεόδωρε,
κατὰ τὸ ἔλεος κρίνῃ,
ἡμᾶς τοὺς πταίοντας.

Στρατείας οὐρανίου,
γέγονας στρατάρχης,
ὑπερφυέσι βασάνοις, Θεόδωρε,
καὶ ἀκαταίσχυντος πρέσβυς,
τῶν προσπιπτόντων σοι.

*Θεοτοκίον*

Ἁγνὴ Παρθενομῆτορ,
σὺν τῷ Θεοδώρῳ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

πρὸς τὸν Δεσπότην τὰς χεῖρας ἐκτείνατε,
ἵνα τὸν πλοῦτον παράσχῃ,
ἡμῖν τῆς χάριτος.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*Μεγαλυνάρια (παλαιά)*

Ἄνθος ἐκ Χαλδείας φυὲν τερπνόν,
ἄθλοις μαρτυρίου,
εὐωδίασε νοητῶς,
τοὺς πιστοὺς ἐν Ἄτρᾳ,
Θεόδωρος ὁ θεῖος,
πυρὶ τακεὶς τὰς σάρκας,
Χριστοῦ τῷ ἔρωτι.

Τοὺς ἀσπαζομένους σου, ἀθλητά,
τὴν ἁγίαν κάραν,
καὶ εἰκόνα σου εὐλαβῶς,
καὶ τὴν θείαν μνήμην,
τελοῦντας ἐτησίως,
περίσωζε πρεσβείαις,
μάκαρ Θεόδωρε.

*καὶ ἕτερα νεοσύνθετα*

Δῶρον ἐχαρίσθης παρὰ Θεοῦ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

τοῖς προσερχομένοις,
εὐλαβείᾳ τῷ σῷ ναῷ,
καὶ τῶν αἰτημάτων,
ἐκπλήρωσιν παρέχεις,
φιλαδελφίας πλήρης,
μάρτυς Θεόδωρε.

Χαίροις τῶν Ποντίων γόνος λαμπρός,
καὶ Χριστομαρτύρων,
κατὰ πάντα ἐκμιμητής,
Βρύσεων δὲ Πέντε,
προστάτης ἐν Κυρίῳ,
Θεόδωρε τρισμάκαρ,
διὸ τιμῶμέν σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Ὅτι σοῦ ἐστιν κλπ.ὡς σύνηθες.*

*Εἰς δὲ τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.΄ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Λῦε γαυριάματα ἐχθροῦ,
τοῦ ἀρχῆθεν ἀνθρωποκτόνου,
μάρτυς Θεόδωρε,
καὶ τῶν γεραιρόντων σε προστάτης φάνηθι·
ἀσθενείας ἰάτρευε,
ψυχῶν καὶ σωμάτων,
τὴν εἰρήνην πάρεχε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro

ἐν ταῖς οἰκίαις πιστῶν.
Πάντας δὲ ἀξίωσον στῆναι,
μετὰ σοῦ ἐν τῷ Παραδείσῳ,
καὶ χορῶν Ἁγίων, θεοδόξαστε.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*

*Δῶρα θείας χάριτος πάρεχε, μάρτυς,*
*τοῖς πιστῶς, Θεόδωρε, προσπίπτουσί σοι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ
www.tezaurliturgic.ro